ἀγγέλλω δὲ βροτοῖσι καὶ ἄστηλός περ ἐοῦσα
θεῖον ὑλακτητὴν δήμου ἔχουσα κύνα.

## XVII

Θεσσαλαὶ αἱ βόες αἵδε, παρὰ προθύροισι δ' Ἀθάνας
ἑστᾶσιν, καλὸν δῶρον, Ἰτωνιάδος,
πᾶσαι χάλκειαι δυοκαίδεκα, Φράδμονος ἔργον,
καὶ πᾶσαι γυμνῶν σκῦλον ἀπ' Ἰλλυριῶν.

## XVIII

στᾶθι πέλας, δάκρυσον ἰδών, ξένε, μυρία πένθη
τᾶς ἀθυρογλώσσου Ταντολίδος Νιόβας,
ἇς ἐπὶ γᾶς ἔστρωσε δυωδεκάπαιδα λοχείαν
ἄρτι, τὰ μὲν Φοίβου τόξα, τὰ δ' Ἀρτέμιδος.
ἁ δὲ λίθῳ καὶ σαρκὶ μεμιγμένον εἶδος ἔχουσα
πετροῦται, στενάχει δ' ὑψιπαγὴς Σίπυλος.
θνατοῖς ἐν γλώσσᾳ δολία νόσος, ἇς ἀχάλινος
ἀφροσύνα τίκτει πολλάκι δυστυχίαν.

## XIX

ναυηγοῦ τάφος εἰμί, σὺ δὲ πλέε· καὶ γὰρ ὅθ' ἡμεῖς
ὠλλύμεθ', αἱ λοιπαὶ νῆες ἐποντοπόρουν.